# HETEROSIS ELEGIACA.

Τὸν βίον ἔκρυψαν θεοὶ ἀνδράσιν ὑψιμέδοντες.
Ῥᾷστα γὰρ ἐργάσῃ καὶ ἐπὶ ἤματ' ἐνί,
Ὥστε σε κ' εἰς ἐνιαυτὸν ἔχειν καὶ ἀεργὸν ἐόντα.
Καπνοῦ ὑπὲρ θήσῃ αὐτίκα πηδάλιον,
Ἔργα βοῶν δ' ἀπόλοιτο καὶ ἡμιόνων ταλαεργῶν.
Ἀλλὰ χολωσάμενος Ζεὺς κατέκρυψε φρεσίν,
Ὅττι μιν ἐξαπάτησε Προμηθεὺς ἀγκυλομήτης.
τοὔνεκ' ἄρ' ἀνθρώποις μήσατο λυγρὰ ἄχη.
κρύψε δὲ πῦρ, τὸ μὲν αὖθις ἐὺς πάις Ἰαπετοῖο
μητιόεντος ὕπαι Ζηνὸς ἔκλεψε βροτοῖς
Ἐν κοίλῳ νάρθηκι, λαθὼν Δία τερπικέραυνον.
τὸν δὲ χολωσάμενος Ζεὺς προσέφη Κρονίδης.
Ἰαπετιονίδη, πάντων πέρι μήδεα εἰδώς,
χαίρεις πῦρ κλέψας, κ' ἠπεροπεύσας ἐμέ·
Σοί τ' αὐτῷ μέγα πῆμα καὶ ἀνδράσιν ἐσσομένοισι.
τοῖς κακὸν ἀντὶ πυρὸς δώσω, ἅπαντες ὁμοῦ
Ὧ κατὰ νῦν τέρπονται, ἑὸν κακὸν ἀμφαγαπῶντες.
Ὣς ἔφατ'· εὐρυόπης ἐκ δ' ἐγέλασσε θεός.
Ἥφαιστον δ' ἐκέλευσεν, ὕδει γῆν ὅττι τάχιστα
φύρειν, ἀνθρώπου τὴν ὄπα ἐν δὲ θέμεν,
Καὶ σθένος, ἀθανάταις δὲ θεαῖς εἰς ὦπα ἐΐσκειν
παρθενικαῖς, ἀγανὰ χήματα. Παλλάδ' ἀτὰρ
Ἔργα διδασκῆσαι πολυδαίδαλον ἱστὸν ὑφαίνειν,
καὶ χάριν ἀμφιχέαι τῇ κεφαλῇ Παφίην,
καὶ πόθον ἀργαλέον, καὶ γυιοκόρους μελεδῶνας.
ἐν δὲ νόον κύνεον κ' ἤθεα φαῦλα θέμεν
Ἑρμείην ἤνωγε διάκτορον Ἀργειφόντην.
Ὣς φάτο· πείθονται οἱ δὲ ἄνακτι Διΐ.
Αὐτίκα δ' ἐκ γαίης πλάσσε κλυτὸς Ἀμφιγυήεις
παρθενικῇ ἴκελον, βουλομένοιο Διός.
Ζῶσε δὲ καὶ κόσμησε θεὰ γλαυκῶπις Ἀθήνη.
ἀμφὶ δὲ ἡ Πειθώ, τρεῖς Χάριτές τε θεαὶ
Ὅρμους χρυσείους ἔθεσαν χροΐ· ἀμφὶ δὲ τήνγε
ἔστεφον αἱ Ὧραι ἄνθεσιν εἰαρινοῖς.